λεως χρείας πεμπόμεναι ταχυναυτοῦσαι. ἄλλως. ἐπεὶ ταχεῖαν αὐτὴν εἶπεν. αὗται δὲ αἱ τριήρεις ὡς ἂν ὑπηρετίδες οὖσαι, ταχεῖαι ἦσαν Πάραλος καὶ Σαλαμινία. ἐὰν δὲ δασέως ἐν ἄρθρου μέρει ἔσται ἡ αὐτὴ Πάραλος καὶ Σαλαμινία. Ανατεταμένος τρίορχος.] ἐπεὶ ἑταίρα ἦν ἔπαιξε τὸ τρίορχος. Σφραγῖδ' ἔχεις παρὰ τῶν πελαργῶν] οἷον σύμβολον ἐπὶ τῷ συγχωρηθῆναι παρελθεῖν. Υγιαίνεις μέν.] ὑγιαίνεις φησί. καὶ οὐ μαίνῃ τοιαῦτα ἐρωτῶν. Επέβαλεν ὀρνίθαρχος.] πρὸς τὸ ἐπέβαλεν. ὅτι καὶ νῦν ἐπὶ τοῦ συνουσιάσαι, ὃ καὶ ἐνόμισε λέγειν ἡ Ιρις διὸ παραιτεῖται. Τῆς ἀλλοτρίας καὶ τοῦ χάους.] χάους τοῦ ἀέρος διὰ τὸ κεχύσθαι εἰς ἄπλωμα. Πασῶν ἰρίδων.] ἢ ὡς τοῦ ἀέρος ποικίλας ἴριδας ποιοῦντος. ἢ ἀντὶ τοῦ εἰπεῖν θεαινῶν. Τῆς ἀξίας] λείπει τιμωρίας. Ακολαστανεῖτε] ἀκόλαστα καὶ ἄτακτα πράξετε.

Bisetus. Ακολαστανεῖτε.] ἀκόλαστον, τὸ ἀκρατὲς, τὸ θρασὺ, τὸ ὑβριστικὸν, καὶ τολμηρόν. καὶ ἀκόλα- A στος ἄνθρωπος κατὰ τὸν Σουίδαν, ὁ κολάσεως ἄξιος. κυρίως δὲ ἀκόλαστος καλεῖται ὁ μηδεμιᾷ κολάσει, καὶ τιμωρίᾳ σωφρονίζεσθαι δυνάμενος. ὅθεν τὸ ἀκολασταίνειν, ὃ σημαίνει τοιαῦτα πράγματα, καὶ παρανομίας ποιεῖσθαι, ἅπερ ἐστὶν ἀκολασίας, καὶ ἀκολάστων ἀνθρώπων. γενικῶς δὲ τὸ ἀτακτεῖν, καὶ ἀκοσμεῖν, καὶ ἀσχημονεῖν δηλοῖ.

Σχόλια. Εν μέρει τῶν κρειττόνων.] κατά τι μέρος ἡμῖν ὑποταγῆναι ὀφείλετε. Τὼ πτέρυγε ποῖ ναυστολεῖς] ἔπαιξεν ὡς ἐπὶ νεῶν. ποῦ παρασκευάζῃ. καὶ ἐπὶ ποίαν B ὁδὸν τὴν πλῆσιν ἔχεις.

Bisetus. Κνισᾶν.] κνίσσα, τὸ λίπος, καὶ ἡ ἀπὸ τῶν ὀπτωμένων κρεῶν, εἴτουν καιομένης πιμελῆς ἀνάδοσις, ὅτι κοινότερον μὲν ἐν δυσὶ σσ γράφεται. κατὰ τὸν Ηρωδιανὸν δὲ δι' ἑνὸς, ὡς ἀπὸ τοῦ κνίζω, κνίσω, κατ' ἔκτασιν τῆς ἀρχούσης. ὅθεν τὸ κνισσοῦν, καὶ τὸ κνισσᾶν, τὴν κνίσσαν ποιεῖσθαι, καὶ κνίσσῃ ἀναθυμιᾶσθαι.

Πει. Θεοὶ γὰρ ὑμεῖς; Ιρ. τίς γὰρ ἔστ' ἄλλος θεός;
Πισ. Ορνιθες ἀνθρώποισι νῦν εἰσι θεοί.
Οἷς θυτέον αὐτοῖς. ἀλλὰ μὰ Δί' οὐ τῷ Διΐ.
Ιρ. Ω μῶρε, μῶρε μὴ θεῶν κίνει φρένας
Δεινάς. ὅπως μή σου γένος πανώλεθρον,
Διὸς μακέλλη πᾶν ἀναστρέψῃ δίκη,
Λιγνὺς δὲ σῶμα, καὶ δόμων περιπτυχὰς,
Καταιθαλώσῃ σου λικυμνίαις βολαῖς.
Πισ. Ακουσον. αὕτη παῦε τῶν παφλασμάτων.
Εχ' ἀτρέμας φέρ' ἴδω. πότερα Λυδὸν, ἢ Φρύγα
Ταυτὶ λέγουσα, μορμολύττεσθαι δοκεῖς.
Αρ' οἶσθ' ὅτι Ζεὺς εἴ με λυπήσει πέρα,
Μέλαθρα μὲν αὐτοῦ, καὶ δόμους Αμφίονος
Καταιθαλώσω πυρφόροισιν αἰετοῖς.
Πέμψω δὲ πορφυρίωνας ἐς τὸν οὐρανὸν,
Ορνις ἐπ' αὐτὸν παρδαλᾶς ἐνημμένους,
Πλεῖν ἑξακοσίους τὸν ἀριθμόν. καὶ δήποτε
Εἷς Πορφυρίων αὐτῷ παρέσχε πράγματα.
Σὺ δ' εἴ με λυπήσεις τι, τῆς διακόνου
Πρώτης ἀνατείνας τὼ σκέλη, διαμηριῶ
Τὴν Ιριν αὐτήν. ὥστε θαυμάζειν ὅπως,
Οὕτω γέρων ὢν στύομαι τριέμβολον.
Ιρ. Διαρραγείης ὦ μέλ' αὐτοῖς ῥήμασι.
Πισ. Οὐκ ἀποσοβήσεις; οὐ ταχέως; εὐρὰξ, πατάξ;
Ιρ. Ην μή σε παύσῃ τῆς ὕβρεως οὑμὸς πατήρ.
Πισ. Οἴμοι, τάλας. οὔκουν ἑτέρωσε πετομένη
Καταιθαλώσεις τῶν νεωτέρων τινά.

PI. *Dei enim vos?* IR. *Quis enim est alius Deus?*
C PI. *Aues hominibus nunc sunt dei,*
*Quibus sacrificandum ipsis, sed per Iouem non Ioui.*
IR. *O stolide stolide, ne deorum moue mentes*
*Graues, ut non tui genus totaliter perniciosum,*
*Iouis ligo omne peruertat iure.*
*Comburens autem corpus & domuum per ordines,*
D *Comburet tui licymnijs percussionibus.*
PI. *Audi, hæc cessa æstuationibus,*
*Habe quietè. age videam, utrum Lydum, an Phrygem*
*Hæc dicens, terrere videris.*
*Nunquid scis, quòd Iupiter, si me dolorificabit, præter modum*
E *Ædes quidem ipsius, & domos Amphionis*
*Comburam, ignem ferentibus aquilis?*
*Mittam autem Porphyriones in cælum,*
*Aues in ipsum pardi pelle indutas*
*Amplius sexcentos numero, & iam*
*Unus Porphyrion ipsi præbebit molestus.*
*Tu autem si me dolorificabis quid, ministra*
*Primæ extendes crura, diuidam*
F *Irin ipsam usque ad admirari quomodo,*
*Sic senex existens, quatio triembolum,*
IR. *Disrumparis ô miser ipsis verbis.*
PI. *Non expelles, non citò latè verberando,*
IR. *Si non te sedabit iniuria meus pater.*
PI. *Hei mihi miser, igitur aliò volans*
*Combures iuuenem aliquem.*

Σχόλια. Αλλὰ μὰ Δί' οὐ τῷ Διΐ.] ἔπαιξε πάλιν μὰ Δία εἰπών. ὡς ἐν κωμῳδίᾳ. Διὸς μακέλλῃ] τοῦτό φησι παρὰ τὸ Σοφόκλειον. χρυσῇ μακέλλῃ Ζηνὸς ἐξαναστραφῇ.

Bisetus. Λιγνύς.] Σουίδας τούτων μεμνημένος τὸ λιγνὺς ἑρμηνεύει, ἡ τοῦ καπνοῦ ἀνάδοσις. καὶ λιγνὺς καθ' Ησύχιον ἡ τοῦ λύχνου ἀτμίς. καπνὸς, κάμινος, φλόξ. Πε- G ριπτυχὰς] Ησύχιος. περιπτυχαὶ, περίβολοι.

Σχόλια. Λικυμνίαις βολαῖς.] ὁ μὲν Καλλίμαχος γράφων οὕτως. λικυμνίαις βολαῖς φησὶ, ταύτης τῆς διδασκαλίας οὐ μέμνηται. ἐν δὲ ἐνίοις τῶν σχολικῶν ὑπομνημάτων ταυτὶ γέγραπται. ἴσως ὁ Λικύμνιος ἐνεπύρισέ τινων οἰκίας. ἐν δὲ τοῖς ἐπιγεγραμμένοις Απολλωνίου ταῦτα γέγραπται. ὅτι ἡμίφλεκτον τινὰ εἰσάγει εἰς τοιοῦτό τι